## 28 IULIE

# PARACLISUL SF.CUVIOASE IRINA DE LA HRISOVOLANT-CONSTANTINOPOL



## PARACLISIERUL PE IULIE-GR


ΕΙΡΗΝΗ
Η ΧΡΥϹΟ
ΒΑΛΑΝΤΥ

# Παρακλητικός κανόνας στην οσία Ειρήνη Χρυσοβαλάντου

Ἱερεὺς. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νύν, καὶ ἀεί, καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Προσόμοια. Ἦχος δ' .Ο υψωθείς.
Την καλιπάρθενον αμνάδα του Κτίστου και Ορθοδόξων βοηθόν και προστάτην εν κατανύξει κράξωμεν πιστοί ταπεινώς, ένδοξε, ρύσαι ικέτας σου εκ παντοίων κινδύνων σπεύσον και παράσχου συ υγιείαν και ρώμην μη αποστρέψεις σους δούλους

κενούς σε γαρ, Ειρήνη, μεσίτριαν έχομεν.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἠχος γ’. Θείας πίστεως.
Δόξαν ρέουσαν, υπεριδούσα, νύμφη άμωμος, ώφθης Κυρίου δι’ ασκήσεως Οσία εκλάμψασα ως ουν Ειρήνη τυχούσα του πόθου σου εν ομονοία ημάς διαφύλαττε, αξιάγαστε, Χριστώ τω Θεώ πρεσβεύουσα δωρήσασθαι ημίν το μέγα έλεος.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν' Ψαλμός.

Καὶ εὐθὺς ψάλλομεν τὸν Κανόνα. Ἦχος Δ'.
Ωδὴ α'. Ἦχος δ'. Ὑγρὰν διοδεύσας
(Οσία του Θεού πρέσβευε υπέρ ημών)
Ειρήνη, προσπίπτω δεητικώς προς σε ο αχρείος και αιτούμαι σην αρωγήν, ην τάχος παράσχου σω ικέτη και εκ παγίδων του δράκοντος ρύσαι με.
Ιάσεις ποικίλας, θαυματουργέ απαύστως παρέχεις τοις προστρέχουσι ταπεινώς και την σην βοήθειαν παράσχου τοις προς σε πόθω προσφεύγουσι,

πάντιμε.
Ψυχάς των αχρείων σου ικετών προστάτευσον, κόρη, από πάσης επιβουλής και δίδως μετάνοιαν Ειρήνη, Χρυσοβαλάντου το κλέος και καύχημα.
Θεοτόκιον.
Σεμνή Θεοτόκε μήτερ Θεού, προς σε καταφεύγω και αιτούμαι σην αρωγήν ην τάχος παράσχου σω ικέτη και σωτηρίας τυχείν καταξίωσον.

Ωδή γ'. Ουρανίας αψίδος.
Των τυφλών βακτηρία και ασθενών ίασις και των εν ανάγκαις, Ειρήνη, μέγας επίκουρος και οδηγός ασφαλής των ορθοδόξων εφάνης ορφανών δε στήριγμα, ω θεοπρόβλητε.
Την μονήν σου, Ειρήνη εκ πειρασμών φύλαττε και τας εν αυτή ασκουμένας σκέπε, φιλάγαθε. Τους εισιόντας προς σε τέλη ανώδυνα δίδου και ειρήνην δώρησαι ω αξιάγαστε.
Ικετεύω σε, νύμφη, τον ψυχικόν τάραχον και της αθυμίας την ζάλην συ αποδίωξον. Σε γαρ προστάτην ημών ομολογούμεν, Ειρήνη, και φρουρόν ακοίμητον, κόρη πανύμνητε.
Θεοτόκιον.
Ω Πανάχραντε κόρη, χριστιανών καύχημα και των ορθοδόξων το κλέος, συ με προστάτευσον εκ των βελών του εχθρού και εκ δολίων ανθρώπων και παθών, Πανάμωμε, ψυχής απάλλαξον.

Διάσωσον από κινδύνων τους δούλους σου, ω Ειρήνη, ότι πάντες ικετικώς προς σε καταφεύγομεν ως χάριν ευρούσα παρά Κυρίω.
Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα.Ήχος β’. Πρεσβεία θερμή.
Συ πρέσβυς θερμός και τείχος απροσμάχητον εδείχθης, σεμνή, και κόσμου καταφύγιον εκτενώς βοώμεν σοι, καλλιπάρθενε κόρη, πρόφθασον και εκ κινδύνων λύτρωσαι ημάς, Ειρήνη, πιστών δόξα και καύχημα.

Ωδή δ’. Εσακήκοα Κύριε.
Χάρισόν μοι κατάνυξιν, στεναγμούς και δάκρυα, θαυματόβρυτε. Ικέτην δίδου, Ειρήνη υγιείαν και ρώμην, ισάγγελε.

Σοι προσπίπτω και δέομαι εκ παντός κινδύνου ρύσαι με, πάντιμε, και την πώρωσιν διάλυσον της ψυχής μου τάχος, μεγαλώνυμε.
Την μονήν σου, πανάριστε, της ορθοδοξίας τείχος ανάδειξον και τους εις αυτήν προστρέχοντας τέκνα τάχος, Ειρήνη, συ δώρησον.
Θεοτόκιον.
Υπερ πάντων ικέτευε τον Υιόν σου, κόρη αξιοτίμητε, και τας τύψεις μου κατεύνασον δια μετανοίας,

Θεονύμφευτε.

Ωδή ε’. Φώτισον ημάς.
Δώρησον καμέ υγιείαν και ταπείνωσιν, πνεύμα συνέσεως και φόβον Θεού, ίνα υμνώ σε απαύστως, Ειρήνη πάντιμε.
Πίστην ακλινή και αγάπην τάχος χάρισον πάσι τοις προστρέχουσι, σεμνή, και εξαιτούσιν, Ειρήνη, σην βοήθειαν.
Νέκρωσον, σεμνή, της σαρκός μου τα σκιρτήματα και την καρδίαν μου πλήρωσον χαράς ίνα δοξάζω, Ειρήνη, Χριστόν τον Κύριον.
Θεοτόκιον.
Ρήματα Θεού διετήρεις εν τη καρδία σου, Παρθενομήτορ αξιάγαστε, τούτο αξίωσον καγώ ποιήσαι δέομαι.

Ωδή στ’. Την δέησιν.
Θαυμάτων συ κρουνός ανεδείχθης και ακοίμητος φρουρός των ανθρώπων των πειρασμών διαλύεις παγίδας και τοις πιστοίς συ παρέχεις την ίασιν σου δέομαι, ω αγαθή, εκ παθών και κινδύνων διάσωσον.
Ειρήνη, Χρυσοβαλάντου το κλέος σοι προσέρχομαι εν πόθω και πίστει και εκζητώ σην βοήθειαν, κόρη, ίνα ρυσθώ εκ των θλίψεων τάχυον, εκ νόσων τε και πειρασμών και ποικίλων παγίδων του όφεως.
Θανάτου του αιωνίου ρύσαι με τον ανάξιον ικέτην, Ειρήνη, και εκ φθοράς και ποικίλων παγίδων του

αρχαικάκου εχθρού τάχος με λύτρωσον, ω κλέος των χριστιανών, εκ παθών και κινδύνων διάσωσον.
Θεοτόκιον.
Παρθένε προς σε προσφεύγω ο τάλας και προς σε χείρας αίρω απαύστως τον σον Υιόν καθικέτευε, κόρη, ίνα σωθώ ο αχρείος ικέτης σου εκ πάντων των διαπλοκών ας ο όφις εκφαίνει, Πανύμνητε.

Διάσωσον εκ πάσης νόσου τους δούλους σου, ω Ειρήνη, ότι πάντες προς σε καταφεύγομεν ως έχουσαν τω Θεώ παρρησία.
Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως επ'εσχάτων των ημερών τεκούσα, δυσώπησον, ως έχουσα μητρικήν παρρησίας.

Κοντάκιον. Ἦχος β '. Προστασία τῶν Χριστιανῶν.
Συ προστάτης των χριστιανών ακαταίσχυντος και μεσίτης προς Θεόν, Ειρήνη, ταχύτατος, μη παρίδης αμαρτωλών ικέτιδας φωνάς, αλλά πρόφθασον, ω αγαθή, εις την βοήθειαν ημών των θερμώς δεομένων σοι. Λύσον συ τας στειρώσεις και τέκνα πιστοίς παράχου, Χρυσοβαλάντου θησαυρέ, και ημών δόξα και καύχημα.

Και ευθύς το Προκείμενον. Ήχος δ'.
Υπομένων υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της δεήσεώς μου. (3)
Στίχος. Και έστησεν επί πέτραν τους πόδας μου, και

κατεύθυνε τα διαβήματά μου.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (Λουκά ζ’ 36-50)

Ηρώτα δε τις αυτόν των Φαρισαίων ίνα φάγη μετ᾽ αυτού· και εισελθών εις την οικίαν του Φαρισαίου ανεκλίθη. και ιδού γυνή εν τη πόλει ήτις ην αμαρτωλός, και επιγνούσα ότι ανεκειται εν τη οικία του Φαρισαίου, κομίσασα αλάβαστρον μύρου και στάσα οπίσω παρά τους πόδας αυτού κλαίουσα, ήρξατο βρέχειν τους πόδας αυτού τοις δάκρυσι και ταις θριξί της κεφαλής αυτής εξέμασσε, και κατεφίλει τους πόδας αυτού και ήλειφε τω μύρω. ιδών δε ο Φαρισαίος ο καλέσας αυτόν είπεν εν εαυτώ λέγων· ούτος ει ην προφήτης, εγίνωσκεν αν τις και ποταπή η γυνή ήτις άπτεται αυτού, ότι αμαρτωλός εστί. και αποκριθείς ο Ιησούς είπε προς αυτόν· Σίμων, έχω σοι τι ειπείν, ο δε φησί· διδάσκαλε, ειπέ. δύο χρεωφειλέται ήσαν δανειστή τινί· εις ώφειλε δηνάρια πεντακόσια, ο δε έτερος πεντήκοντα. μη εχόντων δε αυτών αποδούναι, αμφοτέροις εχαρίσατο. τις ουν αυτών, ειπέ, πλείον αυτόν αγαπήσει; αποκριθείς δε ο Σίμων είπεν· υπολαμβάνω ότι ω το πλείον εχαρίσατο. ο δε είπεν αυτώ· ορθώς έκρινας, και στραφείς προς την γυναίκα τω Σίμωνι έφη· βλέπεις ταύτην την γυναίκα; εισήλθόν σου εις την οικίαν, ύδωρ επί τους πόδας μου ουκ έδωκας· αύτη δε τοις δάκρυσιν έβρεξέ μου τους πόδας και ταις θριξί της κέφαλής

αυτής εξέμαξε. φίλημά μοι ουκ έδωκας· αύτη δε αφ᾿ ης εισήλθεν ου διέλιπε καταφιλούσα μου τους πόδας. ελαίω την κεφαλήν μου ουκ ήλειψας· αύτη δε μύρω ήλειψέ μου τους πόδας. ου χάριν λέγω σοι, αφέωνται αι αμαρτίαι αυτής αι πολλαί, ότι ηγάπησε πολύ· ω δε ολίγον αφίεται, ολίγον αγαπά. είπε δε αυτή· αφέωνταί σου αι αμαρτίαι. και ήρξαντο οι συνανακείμενοι λέγειν εν εαυτοίς· τις ούτος εστίν ος και αμαρτίας αφίησιν; είπε δε προς την γυναίκα· η πίστις σου σέσωκέ σε· πορεύου εις ειρήνην.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Ἦχος Β΄.
Ταις της σης Οσίας πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ταις της Θεοτόκου, πρεσβείαις Ελεήμον, εξάλειψων τα πλήθη των εμών εγκλημάτων.
Ἐλέησον μέ, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἦχος πλ. Β΄. Ὅλην άποθέμενοι.Ήχος πλ. β’.
Μη εγκαταλείπης με, Χρυσοβαλάντου το κλέος των πιστών το στήριγμα, αλλά δέξαι δέησιν του ικέτους σου θλίψις γαρ έχει με, φέρειν ου δύναμαι αρχαικάκου τα τοξεύματα’ σκέπην ου κέκτημαι, ουδέ που προσφύγω, Οσίαθλε, πάντοθεν πολεμούμενος και παραμυθίαν ουκ έχω πλην σου. Σπεύσον, ω Ειρήνη, ακοίμητε προστάτα και φρουρέ

των δεομένων σοι, εύσημε, και ευχάς εκπλήρωσον.

Ο Ιερεύς' Σώσον ο Θεός τον λαόν σου...

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Της ψυχής μου τα έλκη συ θεράπευσον, κόρη αξιοθαύμαστε, και τέλη της ζωής μου ανώδυνα παράσχου, ίνα πόθω κραυγάζω σοι Ο των Πατέρων ημών Θεός ευλογητός ει.

Ατεκνίαν γυναίων συ παρέχεις την λύσιν πανευωδέστατε, διο και αι ποθούσαι υιούς και θυγατέρας προς σε έρχονται άδουσαι, Χαίρε Ειρήνη σεμνή Χρυσοβαλάντου κλέος.

Εκ τροχαίου ικέτας συ προστάτευσον, κόρη πανωσιώτατε, και πάσι τοις αιτούσι μετάνοιαν παράσχου, ίνα πάντες κραυγάζωμεν, Ο των Πατέρων ημών Θεός ευλογητός ει.

Θεοτόκιον.

Μητροπάρθενε Κόρη προς σε σπεύδω δεόμενος, ο ανάξιος, παράσχου υγιείαν και ρώμην σω ικέτη, ίνα πόθω δοξάζωμεν σε, Θεοτόκε αγνή, την δόξαν των αγγέλων.

Ωδή η'. Τον Βασιλέα.

Τον Βασιλέα ον ηγάπησας σφόδρα, ω Ειρήνη θεόφρον, λιταίς σου ευμένισον τάχος, ίνα μη κολασθώμεν.

Συ ω Ειρήνη, ημών τας καρδίας ειρήνης και χαράς πληροίς, δεδοξασμένη διο σε απαύστως υμνούμεν, αθλοφόρε.
Τας ασθενείας μου της ψυχής ιατρεύεις και σαρκός τας οδύνας, Ειρήνη, διο σε δοξάζω, Χρυσοβαλάντου κλέος.
Θεοτόκιον.
Την Θεοτόκον και Λυτρωτού την μητέρα των αγγέλων αι τάξεις υμνείτε και υπερυψούτε εις πάντας τους αιώνας.

Ωδή θ’. Κυρίως Θεοτόκον.
Ειρήνη αθληφόρε, σε παρακαλούμεν και δεόμεθα, κόρη πανύμνητε, τους ορθοδόξους απαύστως σκέπε και φύλαττε.
Μονής Χρυσοβαλάντου κλέος ανεδείχθης και των πιστών καταφύγιον άριστον, Ειρήνη κόρη σεμνή, μοναζουσών η δόξα.
Κατάνυξιν παράσχου εμοί τω αθλίω, υπομονήν και πτωχείαν του πνεύματος αξίωσον λιταίς σου Χριστού ιδείν την δόξαν.
Θεοτόκοιον.
Πανάμωμε Παρθένε, σκέπασον ικέτην και εκ χειρών αρχαικάκου διάσωσον τοις δε ποθούσι, Αγνή, μετάνοιαν παράσχου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ

Θεοῦ ἡμῶν .Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Μεγαλυνάρια.

Δεύτε εφημήσωμεν οι πιστοί Οσίαν Ειρήνην των ατέκνων καταφυγή, των δε ορθοδόξων προστάτιδα και κλέος και πάντων των εν θλίψει το παραμύθιον.
Εκτενώς ικέτευε τον Θεόν υπέρ της Ελλάδος ειρηναίαν αυτήν τηρείν και λυτρούσθαι πάντων δεινών τε και κινδύνων, μοναζουσών το κλέος, Ειρήνη Πάνσοφε.
Έλαμψας τω πάλαι εν τη Μονή του Χρυσοβαλάντου, ω Ειρήνη θαυματουργέ, και των μοναζόντων κατέστης, αθληφόρε, το πρότυπον και κλέος και πάντων σέμνωμα.
Ίδωμεν τους άθλους σου, αγαθή, ους εν τη μονή σου συ κατήγαγες ταπεινώς και τας αρετάς σου δι’ων κατεκοσμήθης, Ειρήνη χριστοδρόμε, πιστών το κλέϊσμα.
Ατεκνίαν λύεις των γυναικών, Ειρήνη θεόφρον, ορθοδόξων καταφυγή, συ και τας ιάσεις παρέχεις αδαπάνως τοις πίστει προσιούσιν εις την εικόνα σου.

Το Μεγαλυνάριον του Αγίου του Ναού και

Πᾶσαι τῶν, Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες, μετὰ τῆς

Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἀπολυτίκιον. Ήχος γ’. Θείας πίστεως.
Δόξαν ρέουσαν, υπεριδούσα, νύμφη άμωμος, ώφθης Κυρίου δι’ ασκήσεως Οσία εκλάμψασα ως ουν Ειρήνη τυχούσα του πόθου σου εν ομονοία ημάς διαφύλαττε, αξιάγαστε, Χριστώ τω Θεώ πρεσβεύουσα δωρήσασθαι ημίν το μέγα έλεος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Των πιστών ασπαζομένων την εικόνα της Οσίας ψάλλομεν τα εξής:
Ήχος β’. Ότε εκ του ξύλου.
Χαίρε, ω Ειρήνη θαυμαστή. Χαίρε ορθοδόξων προστάτα και των πιστών ο φρουρός άλλην γαρ ουκ έχομεν αμαρτωλοί προς Θεόν εν κινδύνοις και θλίψεσιν αεί μεσιτείαν οι κατατρυχόμενοι υπό ποικίλων παθών σπεύσον και ατέκνοις παράσχου

τέκνα, θεοδόξαστε κόρη, ως και υγιείαν, καλλιπάρθενε.

Ήχος πλ. δ’.

Δέσποινα, πρόσδεξαι τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Ήχος β’.

Την πάσαν ελπίδα μου εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

Ήχος α’.

Τη πρεσβεία, Κύριε, πάντων των Αγίων και της Θεοτόκου, την σην ειρήνην δος ημίν και ελέησον ημάς ως μόνος οικτίρμων.

